eul_wid: iys-aa

*Φανοκλῆς ὁ ἐλεγειογράφος* · Phanocles the Elegiac Poet

# Fragments on Orpheus

*Ἀποσπάσματα περὶ Ὀρφέως*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Ἐπική* Epic (Homeric) (frg)
**Domain:** *Ποίησις* Poetry
**Format:** *Ἔμμετρος* Verse

book 1.1 Ἢ ὡς Οἰάγροιο πάϊς Θρηΐκιος Ὀρφεὺς ἐκ θυμοῦ Κάλαϊν

book 1.2 στέρξε Βορηϊάδην, πολλάκι δὲ σκιεροῖσιν ἐν ἄλσεσιν ἕζετ᾽ ἀείδων [para]ὃν πόθον, οὐδ᾽ ἦν οἱ θυμὸς ἐν ἡσυχίῃ,ἀλλ᾽ αἰεί μιν ἄγρυπνοι ὑπὸ ψυχῇ μελεδῶναι [para]ἔτρυχον, θαλερὸν δερκομένου Κάλαϊν. Τὸν μὲν Βιστονίδες κακομήχανοι ἀμφιχυθεῖσαι [para]ἔκτανον, εὐήκη φάσγανα θηξάμεναι, οὕνεκα

book 1.3 πρῶτος ἔδειξεν ἐνὶ Θρήκεσσιν ἔρωταςἄρρενας, οὐδὲ πόθους ᾔνεσε θηλυτέρων. Τοῦ δ᾽ ἀπὸ μὲν κεφαλὴν

book 1.4 χαλκῷ τάμον, αὐτίκα δ᾽ αὐτὴν [para]εἰς ἅλα Θρηϊκίῃ ῥῖψαν ὁμοῦ χέλυϊ ἥλῳ καρτύνασαι, ἵν᾽ ἐμφορέοιντο θαλάσσῃ [para]ἄμφω ἅμα, γλαυκοῖς

book 1.5 τεγγόμεναι ῥοθίοις.

book 1.1 Τὰς δ᾽ ἱερῇ Λέσβῳ πολιὴ ἐπέκελσε θάλασσα· [para]ἠχὴ δ᾽ ὣς λιγυρῆς πόντον ἐπέσχε λύρης, νήσους τ᾽ αἰγιαλούς θ᾽ ἁλιμυρέας, ἔνθα λίγειαν [para]ἀνέρες Ὀρφείην ἐκτέρισαν κεφαλήν, ἐν δὲ χέλυν τύμβῳ λιγυρὴν θέσαν, ἣ καὶ ἀναύδουςπέτρας καὶ Φόρκου

book 1.2 στυγνὸν ἔπειθεν ὕδωρ. Ἐκ κείνου μολπαί τε καὶ ἱμερτὴ κιθαριστὺς [para]νῆσον ἔχει, πασέων δ᾽ ἐστὶν ἀοιδοτάτη. Θρῇκες δ᾽ ὡς ἐδάησαν ἀρήϊοι ἔργα γυναικῶν [para]ἄγρια, καὶ πάντας δεινὸν ἐσῆλθεν ἄχος,ἃς ἀλόχους ἔστιζον, ἵν᾽ ἐν

book 1.3 χροΐ σήματ᾽ ἔχουσαι [para]κυάνεα

book 1.4 στυγεροῦ μὴ λελάθοιντο φόνου· ποινὰς δ᾽ Ὀρφῆϊ κταμένῳ τίνουσι γυναῖκες εἰσέτι νῦν κείνης εἵνεκεν ἀμπλακίης.

book 2 Ἀλλὰ τὸ Μοιράων νῆμ᾽ ἄλλυτον, οὐδέ τῳ ἔστιν [para]ἐκφυγέειν, ὁπόσοι γῆν ἐπιφερβόμεθα.

book 3 Ἢ ὡς θεῖον Ἄδωνιν ὀρειφοίτης Διόνυσος ἥρπασεν, ἠγαθέην Κύπρον ἐποιχόμενος.